πρώην ἀπολέσαν, καὶ τὴν σὴν σωτηριώδη προσαναμένον κατάβασιν.

Γαβριὴλ ὁ Ἀρχάγγελος, ἐπὶ σέ, Παναμώμητε, ἐμφανῶς ἐλεύσεται καὶ βοήθει σοι· Χαῖρε, κατάρας λυτήριον, πεσόντων ἀνόρθωσις· χαῖρε, μόνη ἐκλεκτή, τῷ Θεῷ χρηματίσασα· χαῖρε, ἔμψυχε τοῦ Ἡλίου νεφέλη· ὑποδέχου, τὸν ἀχώρητον ἐν μήτρᾳ, τῇ σῇ οἰκῆσαι θελήσαντα.

*Δόξα. Καὶ νῦν.* Ἦχος Δ΄.

Γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος· ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος τοῦ εὐαγγελισμοῦ τὰ ῥήματα· ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμόν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. Διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι. Ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεός, εἰρήνην τῷ κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Θεοτοκίον.* Ἦχος γ΄.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι, Θεοτόκε. Ποῖον σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διό, ὡς προσετάγην, βοῶ σοι. Χαῖρε, ἡ Κεχαριτωμένη.

# ΤΟ ΤΡΟΠΑΡΙΟΝ ΤΗΣ ΚΑΣΣΙΑΝΗΣ

*Ψαλλόμενον τὴν Μεγάλην Τρίτην*

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνή, τὴν σὴν αἰσθανομένη Θεότητα, Μυροφόρου ἀναλαβοῦσα τάξιν, ὀδυρομένη μῦρα σοι πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει. Οἴμοι! λέγουσα, ὅτι νύξ μοι ὑπάρξει, οἶστρος ἀκολασίας ζοφώδης τε καὶ ἀσέληνος, ἔρως τῆς ἁμαρτίας. Δέξαι μου τὰς πηγὰς τῶν δακρύων, ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ· κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας, ὁ κλίνας τοὺς Οὐρανοὺς τῇ ἀφάτῳ σου κενώσει. Καταφιλήσω τοὺς ἀχράντους σου πόδας, ἀποσμήξω τούτους δὲ πάλιν τοῖς τῆς κεφαλῆς μου βοστρύχοις· ὧν ἐν τῷ Παραδείσῳ Εὔα τὸ δειλινόν, κρότον τοῖς ὠσὶν ἠχηθεῖσα, τῷ φόβῳ ἐκρύβει. Ἁμαρτιῶν μου τὰ πλήθη καὶ κριμάτων σου ἀβύσσους τὶς ἐξιχνιάσει ψυχοσῶστα Σωτήρ μου; Μή με τὴν σὴν δούλην παρίδης, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος·